# De mensibus Macedonicis

## ᾿Ιωάννου τοῦ Δαμασκηνοῦ, περὶ τῶν Μακεδόνων μηνῶν, ἐκ τῆς ἐκκλησιαστικῆς παραδόσεως.

Φασὶ γὰρ οἱ Ἕλληνες εἶναι δώδεκα ζώδια ἐξ ἀστέρων ἐν τῷ οὐρανῷ, ἐναντίαν κίνησιν ἔχοντα τῷ τε ἡλίῳ, καὶ τῇ σελήνῃ, καὶ τοῖς ἄλλοις πέντε πλανήταις, καὶ διὰ δώδεκα ζωδίων παρέρχεσθαι τοὺς ἑπτά. Τῶν δὲ ἑπτὰ πλανητῶν τὰ ὀνόματα εἰσὶ ταῦτα· Ἥλιος, Σελήνη, Ζεὺς, Ἑρμῆς, Ἄρης, Ἀφροδίτη, Κρόνος. Πλανήτας δὲ καλοῦσιν αὐτοὺς διὰ τὸ ἐναντίαν αὐτοὺς τοῦ οὐρανοῦ κινεῖσθαι κίνησιν. Εἶναι δὲ καθ' ἑκάστην ζώνην τοῦ οὐρανοῦ ἕνα τῶν ἑπτὰ πλανητῶν· ἕνα μὲν ἐν τῇ πρώτῃ καὶ ἀνωτέρᾳ τὸν Κρόνον· ἐν δὲ τῇ δευτέρᾳ τὸν Δία· ἐν τῇ τρίτῃ τὸν Ἄρεα· ἐν δὲ τῇ τετάρτῃ τὸν Ἥλιον· ἐν δὲ τῇ πέμπτῃ τὴν Ἀφροδίτην· ἐν δὲ τῇ ἕκτῃ τὸν Ἑρμῆν· ἐν δὲ τῇ ἑβδόμῃ καὶ κατωτέρᾳ τὴν Σελήνην. Ὁ μὲν οὖν Ἥλιος καθ' ἕκαστον ζώδιον ἀποτελεῖ μῆνα ἕνα, καὶ διὰ τῶν δώδεκα μηνῶν τὰ δώδεκα ζώδια διέρχεται. Τῶν δὲ δώδεκα ζωδίων τὰ ὀνόματα εἰσὶ ταῦτα, καὶ οἱ τούτων μῆνες· α΄, Κριός· μηνὶ Μαρτίῳ κα΄ δέχεται τὸν ἥλιον· β΄, Ταῦρος· μηνὶ Ἀπριλλίῳ κγ΄· γ΄, Δίδυμος Μαΐῳ κδ΄· δ΄, Καρκίνος Ἰουνίῳ κδ΄· ε΄, Λέων Ἰουλίῳ κε΄· ς΄, Παρθένος, Αὐγούστῳ κε΄. ζ΄, Ζυγὸς Σεπτεμβρίῳ κε΄· η΄, Σκορπίος, Ὀκτωβρίῳ. κε΄· θ΄, Τοξότης, Νοεμβρίῳ κε΄· ι΄, Αἰγόκερως, Δεκεμβρίῳ κε΄· ια΄, Ὑδροχόος, Ἰαννουαρίῳ κ΄· ιβ΄, Ἰχθῦς, Φευβρουαρίῳ κ΄. Ἡ δὲ Σελήνη καθ' ἕκαστον μῆνα τὰ ιβ΄ ζώδια διέρχεται, καὶ κατωτέρα παροῦσα, καὶ ταχύτερον ταῦτα διοδεύουσα· ὡς ἐὰν ποιήσῃς πόλον ἔνδον ἄλλου πόλου, ὁ ἔνδον πόλος μικρότερος εὑρεθήσεται. Οὕτω καὶ ὁ δρόμος τῆς Σελήνης κατωτέρας οὔσης ὀλιγότερός ἐστιν, καὶ ἀνύεται τάχιον. Περὶ διαφόρων μηνῶν. Μῆνες κατὰ Ῥωμαίους. α΄. Μάρτιος λα΄· Γλυκοφάγει, γλυκοπότει. β΄. Ἀπρίλλιος λ΄· Ῥαφάνης μὴ φάγῃς. γ΄. Μάϊος λα΄· Ποδοκέφαλα μὴ φάγῃς. δ΄. Ἰούνιος λα΄· Πίνε ὕδωρ ὀλίγον. ε΄. Ἰούλιος λα΄· Ἀπέχου ἀφροδισίων. ς΄. Αὔγουστος λα΄· Ὠμὰ λάχανα μὴ φάγῃς. ζ΄. Σεπτέμβριος λ΄· Γάλα μὴ φάγῃς. η΄. Ὀκτώβριος λα΄· Ἀπέχου ὀξυφαγίας. θ΄. Νοέμβριος λ΄· Ἀπέχου πολυλουσίας. ι΄. Δεκέμβριος λα΄· Κράμβην μὴ φάγῃς. ια΄. Ἰαννουάριος λα΄· Ὥρᾳ ιβ΄ πίνε ἄκρατον ὀλίγον. ιβ΄. Φευβρουάριος κη΄· Σεύτλου μὴ φάγῃς. 95.237 Μῆνες κατὰ Ἰουδαίους. α΄. Νισάν. β΄. Ἰάρ· γ΄. Σιουάν. δ΄. Θαμούζ. ε΄. Ἄβ. ς΄. Ἀλούλ. ζ΄. Θεσρή. η΄. Μαρσουάν. θ΄. Χασλεύ. ι΄. Τιβήθ. ια΄. Σαβάτ. ιβ΄. Ἀδάρ. Μῆνες κατὰ Μακεδόνας. α΄. Ταῦρος. β΄. Δίδυμος· γ΄. Καρκῖνος. δ΄. Λέων. ε΄. Παρθένος. ς΄ Ζυγός. ζ΄. Σκορπίος. η΄. Τοξότης. θ΄. Αἰγόκερως. ι΄. Ὑδροχόος. ια΄. Ἰχθῦς. ιβ΄. Κριός. Μῆνες κατὰ Ἕλληνας. α΄. Ξανθικός. β΄. Ἀρτεμίσιος. γ΄. Δαίσιος. δ΄. Πάνεμος. ε΄. Λῷος. ς΄. Γορπιαῖος. ζ΄. Ὑπερβερεταῖος. η΄. Δῖος. θ΄. Ἀπηλλαῖος. ι΄. Αὐδυναῖος. ια΄. Περίτιος. ιβ΄. Δύστρος. Μῆνες κατὰ Αἰγυπτίους. α΄. Φαρμουθί. β΄. Παχών. γ΄. Παυνί. δ΄. Ἐπιφί. ε΄. Μεσωρί. ς΄. Θώθ. ζ΄. Φαωφί. η΄. Ἀθύρ. θ΄. Χοιάκ. ι΄. Τυβί. ια΄. Μεχείρ. ιβ΄. Φαμενώθ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.